Δόλων· πατρὸς δὲ καὶ πρὶν εὐκλεᾶ δόμον
νῦν δὶς τόσως ἔθηκας εὐκλεέστερον.

ΔΟ. οὔκουν πονεῖν με χρή, πονοῦντα δ' ἄξιον
μισθὸν φέρεσθαι. παντὶ γὰρ προσκείμενον
κέρδος πρὸς ἔργῳ τὴν χάριν τίκτει διπλῆν.

ΕΚ. ναί, καὶ δίκαια ταῦτα κοὐκ ἄλλως λέγω.
τάξαι δὲ μισθὸν πλὴν ἐμῆς τυραννίδος.

ΔΟ. οὐ σῆς ἐρῶμεν πολυόχλου τυραννίδος.

ΕΚ. σὺ δ' ἀλλὰ γήμας Πριαμιδῶν γαμβρὸς γενοῦ.

ΔΟ. οὐκ ἐξ ἐμαυτοῦ μειζόνων γαμεῖν θέλω.

ΕΚ. χρυσὸς πάρεστιν, εἰ τόδ' αἰτήσει γέρας.

ΔΟ. ἀλλ' ἔστ' ἐν οἴκοις· οὐ βίου σπανίζομεν.

ΕΚ. τί δῆτα χρῄζεις ὧν κέκευθεν Ἴλιος;

ΔΟ. ἑλὼν Ἀχαιοὺς δῶρά μοι ξυναίνεσον.

ΕΚ. δώσω· σὺ δ' αἴτει πλὴν στρατηλάτας νεῶν.

ΔΟ. κτεῖν', οὔ σ' ἀπαιτῶ Μενέλεω σχέσθαι χέρα.

ΕΚ. οὐ μὴν τὸν Οἰλέως παῖδά μ' ἐξαιτεῖς λαβεῖν;

ΔΟ. κακαὶ γεωργεῖν χεῖρες εὖ τεθραμμέναι.

ΕΚ. τίν' οὖν Ἀχαιῶν ζῶντ' ἀποινᾶσθαι θέλεις;

ΔΟ. καὶ πρόσθεν εἶπον· ἔστι χρυσὸς ἐν δόμοις.

ΕΚ. καὶ μὴν λαφύρων γ' αὐτὸς αἱρήσει παρών.

ΔΟ. θεοῖσιν αὐτὰ πασσάλευε πρὸς δόμους.

ΕΚ. τί δῆτα μεῖζον τῶνδέ μ' αἰτήσει γέρας;

ΔΟ. ἵππους Ἀχιλλέως· χρὴ δ' ἐπ' ἀξίοις πονεῖν,
ψυχὴν προβάλλοντ' ἐν κύβοισι δαίμονος.

ΕΚ. καὶ μὴν ἐρῶντί γ' ἀντερᾷς ἵππων ἐμοί·
ἐξ ἀφθίτων γὰρ ἄφθιτοι πεφυκότες
τὸν Πηλέως φέρουσι θούριον γόνον·
δίδωσι δ' αὐτοὺς πωλοδαμνήσας ἄναξ
Πηλεῖ Ποσειδῶν, ὡς λέγουσι, πόντιος.
ἀλλ' οὔ σ' ἐπάρας ψεύσομαι· δώσω δέ σοι
κάλλιστον οἴκοις κτῆμ' Ἀχιλλέως ὄχον.

ΔΟ. αἰνῶ· λαβὼν δέ φημι κάλλιστον Φρυγῶν
δῶρον δέχεσθαι τῆς ἐμῆς εὐσπλαγχνίας.